## ΚΕΦΑΛΑΙΟΝ Η΄.

# Περὶ τῆς Γερμανίας. (Γ)

§. 255. Ο῾ μὲν τῆς Γερμανίας ἀὴρ ὑγειινὸς, κἂν ψυχρός· ἡ δὲ γῆ σπέρματα, ϗ οἶνον, ϗ ὀπώρας, ϗ παντοίες φύει καρπὲς. μέταλλά τε ἐμπεριέχει, ἄργυρον, κύπριν, μόλυβδον, σίδηρον, ϗ πᾶν ὀρυκτὸν εἶδος, ϗ δρυμὲς θηρασίμων ζώων πλήρεις. ϗ οἱ ποτίζοντες δὲ αὐτὴν ποταμοὶ, ϗ ἡ πλησίον θάλασσα ἰχθυοτρόφος. (α)

§. 256. Ἰέλιος ὁ Καῖσαρ τὴν Γερμανίαν τῇ Ῥωμαίων ἀρχῇ καθυπέταξεν, ἥτις περίπε τὸ 200 ἀπὸ Χριςε ἔτος, ἀφηνιάζειν ἀρξαμένη, αὐτοδέσποτος ἐγένετο. Κάρολος δὲ ὁ Μέγας (magnus) (ὃς ϗ Αὐτοκράτωρ τῆς Δύσεως ἔτει 800 ἀνηγορεύθη ὑπὸ τε Γ. Λέοντος τε Πάπα, ϗ τῆς Βασιλίδος Εἰρήνης τέως τὸν τίτλον ἐπικυρωσάσης) κατακρατήτας αὐτῆς, τῇ τῶν Φράγκων συνῆψε Βασιλείᾳ.

§. 257. Η῾ τῆς Γερμανίας διοίκησις εἶδός ἐςιν Ἀ-

---

(α) Ἔτασις, ϗ Θέσις Παλαιά.
κατὰ μῆκος 240 μίλ.
κατὰ πλάτος 220
26,000 μίλια τετραγωνικὰ, ϗ κατ᾽ ἀναλογίαν κατοικέσαν 1,000 ἄνθρωποι εἰς ἓν τετραγων. μίλιον.

ΝΕΩΤΕΡΑ.

κατὰ μῆκος 240 μίλ.
κατὰ πλάτος 175
24,860 μίλ. τετραγ. ϗ κατ᾽ ἀναλογίαν κατοικέσι σχεδὸν 965 ἄνθρωποι εἰς ἓν τετραγων. μίλ.

Ε.Υ.Δ της Κ.τ.Π IOANNINA 2006

ρισοκρατίας, κεφαλὴν ἐχέσης μίαν, τὸν καλέμενον αὐτοκράτορα Ῥωμαίων· μετ᾽ αὐτὸν δὲ πρωτεύεσι τὰ συνέδρια· ἤτοι τὸ Συνέδριον τῶν Πριγκίπων, τῶν λεγομένων Αἱρετῶν, Electeurs. τὸ τῶν ἐκκλησιαςικῶν ϗ λαϊκῶν Πριγκίπων, ϗ Κομήτων τῆς αὐτοκρατορίας· καὶ τελευταῖον τὸ τῶν ἐλευθέρων πόλεων, ὧν ἑκάςη ψῆφον ϗ τόπον ἔχει ἐν τῇ περὶ τῆς Αὐτοκρατορίας Διαίτῃ, ἤτοι συνελεύσει.

§. 258. Οἱ τὸ πρῶτον συγκροτεντες Συνέδριον, 9 Πρίγκιπές εἰσιν τὴν τε ἐκ λέγειν τὸν Αὐτοκράτορα ἐξεσίαν ἔχοντες, ἐξ ὧ ϗ Αἱρέται ἐκλήθησαν. τέτων τρεῖς μὲν ἐκκλησιαςικοὶ, ἤτοι Ἀρχιεπίσκοποι τῆς Ῥωμαϊκῆς ἐκκλησίας· ἓξ δὲ λαϊκοὶ, ἀξίᾳ δὲ βασιλικῇ τετιμημένοι ἅπαντες· οἷον, ὁ μὲν πρῶτος Αἱρέτης, ὁ Μαϋέντζης, ἢ Μαγόντζης Ἀρχιεπίσκοπος, Ἀρχικαγγελάριός ἐςιν ἐν τῇ Γερμανίᾳ. Ο δὲ 2 ὁ Τρεύης, Ἀρχικαγγελάριος ἐν τῇ Γαλλίᾳ· ὁ δὲ 3. Ο Κολωνίας, ὁμοίως Ἀρχικαγγελάριος ἐν τῇ Ἰταλίᾳ· ὁ δὲ 4. Ο τῆς Βοεμίας Βασιλεὺς, Ἀρχιοινοχόος, ἢ Ἀρχιεπιγκέρνης· ὁ δὲ 5. Ο τῆς Βαυαρίας Δὲξ, Ἀρχιδεσπότης· ὁ δὲ 6. Ο τῆς Σαξωνίας Πρίγκιψ, Ἀρχιςράτηγος· ὁ δὲ 7. Ο Βασιλεὺς τῆς Πρεσίας, Αἱρέτης ὢν, ὡς τε Βρανδεβέργε Ἡγεμὼν, Ἀρχικεβικελλάριος· ὁ δὲ 8. Ο Παλατῖνος, Ἀρχιθησαυροφύλαξ· ὁ δὲ 9. Ο τε Ἀννόβερ Δὲξ, Ἀρχισημαιοφόρος ἐςίν.

§. 259. Οἱ μὲν ἐκκλησιαςικοὶ Πρίγκιπες, ἐξ ὧν τὸ δεύτερον σύγκειται Συνέδριον, εἰσὶν οἱ ἑξῆς· ὁ Ἀρχιεπίσκοπος τε Σαλτσβέργε, ὁ Μεγαλοδεσπότης ὁ Τευτονικὸς. Ἐπίσκοποι τῆς Αὐτοκρατίας εἴκοσι, ὁ Μεγαλοπρόεδρος τε ἁγίε Ἰωαννε τε Heidersheim, ἓξ πρὸς

τοῖς εἴκοσι προεςῶτες, ὧν τινὲς τίτλῳ Πρίγκιπος τετίμηνται, ἔτι δὲ ϗ Ἀββάδες τρισκαίδεκα· Πρίγκιπες δὲ λαϊκοὶ λογίζονται, οἱ ἔκ τινος παλαιᾶ τῶν ἐν Γερμανίᾳ οἴκȣ ὁρμώμενοι· οἷον ὁ Ἀρχιδȣ̀ξ τῆς Αὐςρίας, οἱ Κόμητες οἱ παλατῖνοι τȣ͂ Ῥήνȣ, οἱ Δȣ͂κες τῆς Σαξωνίας, οἱ Μάργραβοι (1) τȣ͂ Βρανδεβȣ́ργȣ, οἱ Δȣ͂κες τȣ͂ Βρυνσβίκ, ϗ οἱ τȣ͂ Βυρτεμβέργȣ, ϗ οἱ τȣ͂ Μεχτεμβȣ́ργȣ, οἱ Λανδαγραῦοι (2) τῆς Ἕσσης, ἢ Ἀσίας, οἱ Μαργραῦοι τῆς Βάδης, οἱ Δȣ͂κες τȣ͂ Ὀλςεΐν, οἱ Πρίγκιπες τῆς Νασσὸ, ϗ οἱ τȣ͂ Ἀνάλτ, ϗ οἱ ἑξῆς· μετὰ δὲ τȣ́τȣς τάττοντει οἱ νεοκεχειροτονημένοι Πρίγκιπες· μετὰ δὲ τȣ́τȣς ἀμέσως τεταγμένοι εἰσὶν οἱ τῆς Αὐτοκρατίας Κόμητες, τέσσαρα συνιςῶντες Βάθρα, τὸ τῆς Βετεραυΐας, τὸ τῆς Σȣαβίας, τὸ τῆς Φραγκονίας, ϗ τὸ τῆς Βεςφαλίας.

(1) Ἀξίας τίτλος ἡγεμόνον ϗ μεγιςᾶνον σημαίνων.

(2) Ὁμοίως.

§. 260. Αἱ δὲ ἐλεύθεροι πόλεις, ϗ μηδενὶ ὑποκείμεναι, αἱ τὸ τρίτον συγκροτȣ͂σαι Συνέδριον 52. εἰσὶν, εἰς δύω διηρημένάι Βάθρα, ὧν τὸ μὲν τȣ͂ Ῥήνȣ ἐςὶν ἐκ 15. συνεςηκὸς πόλεων, τὸ δὲ τῆς Σȣαβίας ἐκ 37.

§. 261. Μοναρχεῖ δὲ ἕκαςος τῶν διαληφθέντων Πριγκίπων ἐν τῇ αὐτȣ͂ Ἐπαρχίᾳ, ϗ Αὐτόνομός ἐςιν ἑκάςη τῶν εἰρημένων ἐλευθέρων πόλεων.

§. 262. Πολλαὶ αἱ ἐν τῇ Γερμανίᾳ θρησκεῖαι, καθάπερ δὴ ϗ αἱ διοικήσεις. ἀνεκτὴ γὰρ ἐν αὐτῇ πᾶσα φατρία ϗ κόμμα, ϗ αἵρεσις. ϗ ὁ μὲν Αὐτοκράτωρ τὰ τῆς Ῥωμαϊκῆς ἐκκλησίας θρησκεύει δόγματα, οἱ δὲ τῆς ἀνωτέρας ϗ κατωτέρας Γερμανίας, ϗ οἱ τῆς Βεςφαλίας, ϗ Φραγκονίας ϗ Σȣαβίας, ϗ τȣ͂ ἀνωτέρȣ Ῥήνȣ, ϗ οἱ

πλείονες τῶν ἐλευθέρων ϗ Αὐτοκρατορικῶν Πόλεων Δεσπόται τὰ τȣ̃ Λȣθήρȣ, ϗ Καλβίνȣ· οἱ δὲ τȣ̃ τῆς Ἔσσης Λανδγραβιάτȣ πολιȣ̃χοι μικρȣ̃ δεῖν ἅπαντες τὰ τȣ̃ Καλβίνȣ.

§. 263. Ὑψηλόφρονές εἰσιν οἱ Γερμανοὶ, εἰλικρινεῖς ϗ γενναῖοι· ἔτι δὲ ϗ φιλόπονοι, φιλόμȣσοι, φιλότεχνοι, ϗ ϛρατιῶται Ἄριϛοι. μαρτύριον δὲ τȣ́τȣ αἱ ἐν αὐτοῖς ἀκμάζȣσαι παντοῖαι ἐπιϛῆμαι, ϗ τέχναι, ϗ τὰ ϛρατόπεδα· οἱ δὲ εὐγενεῖς αὐτῶν ἐπὶ τῷ ἀμωμήτῳ τῆς εὐγενείας αὐτῶν καυχώμενοι, ϗ εὐγενεϛέρȣς ἁπάντων τῶν εὐρωπαίων ἑαυτȣ̀ς νομίζοντες, καθ᾽ ὑπερβολὴν ἐοίκασι ματαιόφρονες.

§. 264. Ἀριθμȣ̃σιν ἐν πάσῃ τῇ Γερμανίᾳ, ἐκτὸς τῆς Ἑλβετίας, ϗ τῆς Πρȣσίας, οἰκήτορας 18,002,475. ἐκτὸς δὲ τῶν τȣ̃ Βασιλέως τῆς Πρȣσίας, ϗ τȣ̃ Ἀȣϛριακȣ̃ οἴκȣ ϛρατευμάτων, ἔχȣσιν οἱ τῆς Γερμανίας Πρίγκιπες τακτικὰς ἑτοίμȣς ϛρατιὰς 130,000. (α)

§. 265. Πάλαι μὲν εἰς δύω μόνον ἐμερίζετο ἡ Γερμανία μέρη· εἰς Γερμανίαν ἀνωτέραν, ἐν ᾗ ϗ ἡ Ἑλβετία, ϗ ἕτεραι ἐπαρχίαι, αἱ τὴν σήμερον αὐτόνομοι, ϗ εἰς κατωτέραν· (β) τὰ νῦν δὲ, εἰς μέρη 10, κύκλȣς καλȣ́μενα· οἱ δὲ κύκλοι εἰσὶν ȣ̃τοι. (γ)

1. Ὁ τῆς Ἀȣϛρίας.

---

(α) Τὸ πλέον κατοικημένον μέρος τῆς Εὐρώπης εἶναι ἡ Γερμανία, ἡ Ἐπαρίθμησις τȣ̃ 1789 ἦτον 27 μιλλιȣ́ν. Ἐγκάτοικοι, τὰ νῦν ὅμως μένȣσιν 25 μιλλιȣ́ν. Ἐξαιρȣμένων τῶν δύο πέραν τȣ̃ Ῥήνȣ.

(β) Εἰς Γερμανίαν ϗ Ἀλεμανίαν.

(γ) Ὅρα τὴν Σημείωσιν εἰς τὸ τέλος τȣ̃ Παρόντος Κεφαλαίȣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Γ.Γ.Ε. ΙΩΑΝΝΙΝΑ 2006

2. Ὁ τῆς Βαυαρίας.
3. Ὁ τῆς Σϐαβίας.
4. Ὁ τῆς Φραγκονίας.
5. Ὁ τȣ̃ κατωτέρȣ Ῥήνȣ.
6. Ὁ τȣ̃ ἀνωτέρȣ Ῥήνȣ.
7. Ὁ τῆς ἀνωτέρας Σαξωνίας.
8. Ὁ τῆς κατωτέρας Σαξωνίας.
9. Ὁ τῆς Βεςφαλίας.
10. Καὶ ἡ τῆς Βοεμίας Βασιλεία.

§. 266. Ὑποδιαιρεῖται δὲ ἕκαςος τῶν εἰρημένων κύκλων εἰς Ἡγεμονείας, Τίτλȣς διαφόρȣς ἐχȣ́σας· οἷον ὁ μὲν πρῶτος, ὁ τῆς Ἀυςρίας, (ἥτις ἐςὶν ἡ ὑπὸ τῶν ἀρχαίων ἀνωτέρα Παννονία καλȣμένη) εἰς 5.

1. Εἰς τὸ Ἀρχιδȣκάτον τῆς Ἀυςρίας, τὸ μεῖζον πάντων τῶν ἄλλων.
2. Δȣκάτον τῆς Στιρίας, μέρος τȣ̃ Νορικȣ̃ ὄσης, ϗ τῆς ἀνωτέρας Παννονίας.
3. Δȣκάτον τῆς Καρινθίας.
4. Δȣκάτον τῆς Καρνιόλης, τῆς τῇ Ἰταλίᾳ γειτνιαζȣ́σης, ϗ
5. Κομητάτον τῆς Τιρόλεως, ἢ Τιρόλ. (α)

Ὁ δὲ δεύτερος κύκλος ὁ τῆς Βαυαρίας, εἰς 3.

1. Εἰς τὸ Δȣκάτον τῆς Βαυαρίας.
2. Ἀνώτερον Παλατινάτον, ὅπερ μέρος ἐςὶ, τȣ̃ ὁμωνύμȣ αὐτῷ Ἐλεκτοράτȣ. (1)

(1) Ἐλεκτοράτον ἢ τȣ̃ Ἐλέκτορος, εἴτȣν Αἱρέτȣ Ἐπαρχία.

---

(α) *Τῷ 1797 εἰς τὴν εἰρήνην τȣ̃ Κάμπο-Φόρμιο μεταξὺ τοῦ Καίσαρος, ϗ τῆς Γαλλίας, προσετέθησαν ἡ Ἐπαρχία τῆς Βενετίας· ϗ ἡ τῆς Δαλματίας.*

3. Εἰς τὴν Ἀρχιεπισκοπὴν τοῦ Σαλτσβούργου.
Ὁ δὲ τρίτος, ὁ τῆς Σουαβίας, περιέχει μόνον.
1. Τὸ Δουκάτον τοῦ Βιρτεμβέργου.
Ὁ δὲ τέταρτος ὁ τῆς Φραγκονίας διαιρεῖται, εἰς 2.
1. Εἰς τὴν Ἐπισκοπὴν τῆς Βαμβέργης.
2. Καὶ τῆς Βουρτζβούργου, εἴτουν Ἑρβιπόλεως.
Ὁ δὲ πέμπτος ὁ τοῦ κατωτέρου Ῥήνου, εἰς 4.
1. Εἰς τὸ Παλατινάτον τὸ κατώτερον, ὅπερ ἐστὶ τὸ ἕτερον μέρος τοῦ ὁμωνύμου αὐτῷ Ἐλεκτοράτου.
2. Ἐλεκτοράτον τῆς Μαϋέντζης.
3. Τῆς Τρεύης, καὶ
4. Τῆς Κολονίας, τῶν καὶ Ἀρχιεπισκοπῶν.
Ὁ δὲ ἕκτος ὁ τοῦ ἀνωτέρου Ῥήνου, εἰς 2.
1. Εἰς τὸ Λανδγραυϊάτον τῆς Ἀλσακίας, τὸ ὑπὸ τὸν Βασιλέα τῆς Γαλλίας.
2. Καὶ τῆς Ἔσσης.
Ὁ δὲ ἕβδομος ὁ τῆς ἀνωτέρας Σαξωνίας, εἰς 6.
1. Εἰς τὸ Ἐλεκτοράτον τῆς Σαξωνίας.
2. Μαρκιωνάτον τῆς Μισνίας.
3. — τῆς Λουσεκίας.
4. Λανδγραυϊάτον τῆς Θουριγγίας.
5. Ἐλεκτοράτον τοῦ Βρανδεβούργου, καὶ
6. Εἰς τὴν Πομερανίαν.
Ὁ δὲ ὄγδοος, ὁ τῆς κατωτέρας Σαξωνίας, εἰς 4.
1. Εἰς τὸ Ἐλεκτοράτον τῆς Ἀννοουέρας, ἢ Ἀννόβερ.
2. — Δουκάτον τοῦ Βρουνσβικ.
3. — — τοῦ Ὀλστεῖν, καὶ
4. — — τοῦ Μεχλενβούργου.
Ὁ δὲ ἔννατος, ὁ τῆς Βεστφαλίας, εἰς 3.
1. Εἰς τὸ Πριγκιπάτον τῆς Ὀοστφρισίας, Oost-frise.

2. Τὴν Ἐπισκοπὴν τȣ̃ Μοναςηρίȣ, Münster, ϗ
3. — τȣ̃ Λεοδίȣ, de Liege.

Ο῾ δὲ δέκατος κύκλος, εἴτȣν ἡ Βοεμία (ἧς ὁ Βασιλεὺς πρότερον μὲν κατ᾽ ἐκλογὴν ἐψηφίζετο, νῦν δὲ κατὰ διαδοχὴν πρόεισιν ἐπὶ τȣ̀ς ἐκ τȣ̃ Ἀυςριακȣ̃ ὁρμωμένȣς οἴκȣ) εἰς 3.

1. Εἰς τὴν κυρίως Βοεμίαν.
2. Εἰς τὸ Δȣκάτον τῆς Σιλεσίας, ἧς τὸ μεῖζον μέρος τῷ Βασιλεῖ τῆς Πρȣσίας ὑπόκειται, ϗ
3. Εἰς τὸ Μαρκιωνάτον τῆς Μωραυΐας. (α)

§. 267. Τῆς μὲν τῶν Γερμανῶν Αὐτοκρατορίας πρωτεύȣσα, ἡ Οὐϊέννα, ἢ Βιέννα, ἡ ϗ Οὐϊνδοβῶνα, ἢ Βινδοβῶνα, πόλις μεγαλοπρεπὴς, ἐν ᾗ ὁ τȣ̃ Αὐτοκράτορος θρόνος· τῶν δὲ λοιπῶν πόλεων πρῶται, ἐν αἷς ϗ αἱ τῶν Αἱρετῶν καθέδραι, αἱ ἐφεξῆς 9.

1. Τὸ Μονάχιον, ἢ Μȣ́νιχ, ἐν ᾧ ἡ τȣ̃ Αἱρέτȣ τῆς Βαυαρίας καθέδρα.
2. Τὸ Μανεΐμ, συνήθης καθέδρα τȣ̃ Αἱρέτȣ τȣ̃ Παλατίνȣ.
3. Ἡ Τρεύη, πρωτεύȣσα τȣ̃ ὁμωνύμȣ αὐτῇ Ἐλεκτοράτȣ.
4. Ἡ Μαϋέντζα, καθέδρα τȣ̃ Αἱρέτȣ τῆς Μαϋέντζης.

---

(α) *Ἡ* Βοεμία, ἧς *Βασιλεὺς ὁ Αὐτοκράτωρ τῆς Γερμανίας* ϗ *Ἀρχιδȣ̃ξ τῆς Ἀυςρίας, διαιρεῖται εἰς δώδεκα κύκλȣς.*

| | | |
|---|---|---|
| 1. *Λέϊμερίτζ.* | 5. *Κζασλάβ.* | 9 *Πραχίν.* |
| 2. *Καϊνιγινγράτζ.* | 6. *Καϋρτζιμ.* | 10. *Πίλσεν.* |
| 3. *Βολεσλόβ.* | 7. *Βȣράȣν.* | 11. *Ῥάκοβυτζ.* |
| 4. *Κρȣδίμ.* | 8. *Βέχλιν.* | 12. *Σαάτζ.* |

*Ἔχει* ϗ *Ἐγκατοίκȣς ἡ Βοεμία* 2,922,500.

ΙΩΑΝΝΙΝΑ 2006

5. Ἡ Βόννα, ἢ Βὸν, ἐν ᾗ ἡ Ἡγεμονικὴ τȣ̃ Αἱρέτȣ τῆς Κολονίας αὐλή.

6. Τὸ Βέρλινον, ἢ Βερλὶν, ἐν ᾧ ὁ τȣ̃ Βρανδεβȣ́ργȣ Αἱρέτης, εἴτȣν ὁ βασιλεὺς τῆς Πρȣσίας διατρίβει.

7. Ἡ Δρέσδα, πόλις ὡραία, ϗ θαυμαςὴν ἔχȣσα γέφυραν ἐπὶ τȣ̃ Ἄλπεως ποταμȣ̃, ἐν ᾗ ἡ καθέδρα τȣ̃ τῆς Σαξωνίας Αἱρέτȣ.

8. Τὸ Ἀννόβερ, καθέδρα τȣ̃ Αἱρέτȣ τȣ̃ Ἀννόβερ. ὅςτις νῦν Βασιλεὺς τῆς μεγάλης Βρετανίας ἐςὶ, τὸν θρόνον αὐτȣ̃ ἐν τῷ Λονδίνῳ ἔχων.

9. Ἡ Πράγα, ἐν ᾗ ἡ διατεταγμένη τȣ̃ Βασιλέως τῆς Βοεμίας καθέδρα· ἡ δὲ νῦν Βασιλὶς Ἀρχιδȣ́καινα ȣ̃σα τῆς Ἀȣςρίας, ἐν Βιέννῃ τὸν Βασιλικὸν ἔχει θρόνον.

§. 268. Αἱ Πρώτιςαι παραθαλάσσιοι ϗ ἐμπορικαὶ τῆς Γερμανίας πόλεις εἰσὶν 9.

1. Τὸ Στέτινον, ἢ Στέτιν, ἐμπόριον περίφημον, ϗ
2. Ἡ Σȣ́νδα, ἢ Στραλσȣ̀νδ, ἐν τῇ Πομερανίᾳ.
3. Τὸ Ῥοςόχιον, ἢ Ῥοςόχ.
4. Ἡ Βισμαρία, ἢ Βίσμαρ.
5. Ἡ Λȣβέκα, ἢ Λȣβέκ.
6. Τὸ Ἅμβȣργον, ἢ Ἄμβȣργ, ϗ
7. Ἡ Βρέμα, ἡ τὸ πάλαι Φαβίρβανον καλȣμένη ἐν τῇ κατωτέρᾳ Σαξωνίᾳ.
8. Ἡ Ἔμβδα, ἢ Ἔμβδεν, ἐν τῇ Ὀςφρισίᾳ, ϗ
9. Ἡ Τεργέςη, ἢ Τέργεςον, ἢ Τριέςε, ἐν τῇ Ἀδριατικῇ θαλάσσῃ, ὃ πρὸ πάνυ πολλȣ̃ περιφανὲς γεγονὸς, διὰ τὰς ἐν αὐτῷ οἰκοδομὰς, ϗ τὰ τῆς ἐμπορίας προνόμια· ἐν ᾧ ϗ Ἐκκλησίαι ὀρθοδόξων, 2 ἡ μὲν τῶν Γραικῶν, ἡ δὲ τῶν Σλαβȣ́νων,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ρ.Ε.Ν.Φ. - Π.Ι. - Κ.Θ.Π. 2006

§. 269. Αἱ δὲ ἐπὶ τὰ ἐνδότερα τῆς Γερμανίας μέρη· πρῶται ἐμπορικαὶ πόλις εἰσὶν 11.

1. Τὸ Βρουνσβὶκ, τὸ ϗ Βρουνόπολις, ϗ Βρούνωνος κώμη, ϗ Βρουνσουῒνα, ϗ Πεντάπολις καλούμενον.
2. Τὸ Μαγδέβουργον, ἡ τὸ πάλαι Παρθενόπολις, ϗ Παρθενόπη, ἐν τῇ κατωτέρᾳ Σαξωνίᾳ.
3. Ἡ Κολονίᾳ ἡ ἐπὶ τοῦ Ῥήνου.
4. Τὸ Φραγκόφουρτον, τὸ ἐπὶ τοῦ Μοίνου ποταμοῦ.
5. Τὸ Στράσβουργον ἐν τῇ Ἀλσακίᾳ.
6. Ἡ Νωριβέργα, ἢ Νουρεμβοὺργ ἐν τῇ Φραγκονίᾳ.
7. Τὸ Αὐγσβοῦργον, τὸ ϗ Αὔγουστα τῶν Οὐϊνδελικῶν, ϗ Κολωνία τῶν Ῥαίτων, ϗ Δαμασία καλούμενον, ϗ ἐν τῇ Σουαβίᾳ κείμενον.
8. Τὸ Λὶντζ, τὸ ϗ Λεντία, ϗ Λίγγιον, ϗ Αὐρηλιανὸν προσαγορευόμενον, ἐν τῇ Αὐστρίᾳ.
9. Ἡ Λείψια, ἡ ϗ Λεϊψὶγ, ἡ διὰ τὰς Μούσας, ϗ τὴν ἐμπορίαν περίφημος, ἡ ἐν τῇ ἀνωτέρᾳ Σαξωνίᾳ.
10. Τὸ Φραγκόφορτον, ἢ Φραγκφὸρτ, τὸ ἐπὶ τοῦ Ὄδερα ποταμοῦ· ϗ
11. Ἡ Οὐρατισλάβια, ἢ Βρέσλαου, ἡ ἐν τῇ Σιλεσίᾳ.

§. 270. Εἰσὶ δὲ ϗ ἕτεραι ἐν τῇ Γερμανίᾳ περίφημοι πόλεις, οἷον ἐν μὲν τῇ Βεστφαλίᾳ.

Ἡ Κασλία, Hesse-Cassel.
Τὸ Μοναστήριον, Μοῦνστερ.
Τὸ Λεόδιον, Liege, ϗ
Ἡ Ἄϊξ Σαπέλλα, Aix-la-Chapelle, τὸ ϗ Ἀκουϊσγράνον.

Ἐν δὲ τῷ Παλατινάτῳ.

Ε.Υ.Δ.Ι.Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

Ἡ Ἑϊδελβέργα, Heidelberg.

Ἐν δὲ τῇ Σϐαβίᾳ.

Ἡ Οὔλμα, Ulm.

Ἐν δὲ τῇ Βαυαρίᾳ.

Τὸ Σάλτζβεργον, Saltzburg.

Τὸ Πασσαΰϊον, Passau, τὸ ϗ Παταυΐα, ϗ·

Ἡ Ῥατισβῶννα, ἡ ϗ Αὐγϐςα Τιβερίϐ, ϗ Ῥετόπολις, ϗ Ῥηγηνόπολις λεγομένη.

Ἐν δὲ τῇ Ἀϐςρίᾳ.

Τὸ Γρὰτζ, Gratz, τὸ ϗ Γραίκιον, ϗ Γρακία.

Ἐν δὲ τῇ Φραγκονίᾳ.

Ἡ Βαμβέργα, Bamberg, ἡ νομιζομένη τὸ παλαιὸν Βέργιον· ϗ

Ἡ Ἑρβίπολις, Würzbourg.

Ἐν δὲ τῇ Θϐριγγίᾳ.

Ἡ Ἑρφορδία, Erfort.

§. 271. Οἱ ἐν τῇ Γερμανίᾳ μεγάλοι ποταμοί 7.

1. Ὁ Δϐνάβιος, ὁ ϗ Ἴςρος, ὁ μέγιςος τῶν τῆς Εὐρώπης ποταμῶν, ὁ ἀπὸ τϐ Ἄβνοβα ὄρϐς τῆς Γερμανίας πηγάζειν ἀρχόμενος, ϗ δι᾽ ἓξ ςομάτων εἰς τὸν Εὔξεινον εἰσρέων πόντον. (1)

(1) Ἰχθύδιον, ὡς φασὶν, ἀγρεύϐσιν ἐν μιᾷ τῶν αὐτῷ Εὐξείνῳ πόντῳ ἐκβολῶν αὐτϐ, ὅπερ ἐν ὑαλίνῃ φιάλῃ ὕδατος γλυκερϐ πλήρει, ϗ ὀλίγην ἐν τῷ βάθει περιεχέσῃ ἄμμον, τεθὲν, διὰ τῆς αὐτϐ ἠρεμίας ϗ τύρβης τὰς διαφόρϐς τϐ καιρϐ μεταβολὰς, πολλῷ βέλτιον παντὸς προκαταγγέλλει θερμομέτρϐ· ὅρα τὸ Γεωγραφ. λεξ. τὸ ὑπὸ τϐ οὐόσγιεν ἐκδοθὲν εἰς τὴν λεξ. Δανϐβ.

2. Ὁ Ὄδερα, l'Oder, ὁ ϗ Οὐΐαδρος, ϗ Γύτταλος,

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006

ὁ ἐκ τȣ͂ πέρατος τῆς Μοραυΐας πηγάζων, ϗ εἰς τὴν βαλτικὴν εἰσιὼν θάλασσαν.

3. Ὁ Ἄλβις, l'Elbe, ὁ ἐκ τῶν ὀρέων Γεάνς (ὅρ. §. 178) ἐκβλύζων, ϗ εἰς τὴν Ἀρκτώαν ῥέων θάλασσαν.
4. Ὁ Βέσερ, le Weser, ὁ ϗ Οὐΐσκργις, ὁ ἐν τῇ κατωτέρᾳ Σαξωνίᾳ.
5. Ὁ Ῥῆνος, le Rhin, τὸ πάλαι τῆς Γερμανίας, ϗ Γαλλίας ὅριον, ὁ ἐκ τῶν Ἀλπέων ἀναπηγάζων, ϗ εἰς τὸν Ὠκεανὸν εἰσβάλλων.
6. Ὁ Μοῖνος, le Mein, ὁ τὸ Φραγκόφορτον ποτίζων· ϗ
7. Ὁ Μωσέλλας, la Moselle, ὁ ποτὲ Ὀβριγκὸς καλȣ́μενος, ὁ ἐκ τȣ͂ ἐν Λορραίνῃ Οὐόγησȣ ὄρȣς τὰς ἀρχὰς ἔχων, ϗ τῷ Ῥήνῳ συνενȣ́μενος.

§. 272. Ὄρη δὲ ἐν Γερμανίᾳ τὰ ἐπιφανέςερα εἰσὶ τάδε.

1. Τὰ Ἄλπη, τὰ ἀπὸ τῆς Ἰταλίας αὐτὴν ἀφορίζοντα.
2. Τὰ Γέανς, Geans, τὰ μεταξὺ Βοεμίας, ϗ Σιλεσίας.
3. Τὰ Ἄρτζ, Hartz, τὰ μεταξὺ τῆς ἀνωτέρας, ϗ κατωτέρας Σαξωνίας, ϗ
4. Τὰ Βάȣγε, Vauge, τὰ μεταξὺ Ἀλσακίας, ϗ Γαλλίας.

§. 273. Νῆσος μὲν τῆς Γερμανίας μία μόνη ἡ Ῥȣγία, Rugen, ἡ ἐν τῇ Βαλτικῇ θαλάσσῃ πρὸς τὰ τῆς Πομερανίας μέρη. Λίμναι δὲ ἐπίσημοι, δύω.

1. Ἡ τῆς Κωνςαντίας, ἡ ἐν τῇ Σȣαβίᾳ, ϗ
2. Ἡ τῆς Κτζιρνίτζ, Czirnitz, ἡ ἐν τῷ Δȣκάτῳ τῆς Καρνιόλης.

Ε.Υ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

§. 274. Περατοῖ τῆς Γερμανίας τὸ μὲν Ἀνατολικὸν μέρος, ἡ Πολονία ϗ ἡ Οὐγγαρία· τὸ δὲ Μεσημβρινὸν, ὁ Ἀδριατικὸς κόλπος, ἡ Ἰταλία, ϗ ἡ Ἑλβητία· τὸ δὲ Δυτικὸν, ἡ Γαλλία, ϗ τὸ Βέλγιον· τὸ δὲ Βόρειον, ἡ Ἀρκτῴα θάλασσα, ἡ Δανία, ϗ ἡ θάλασσα ἡ Βαλτική.

§. 275. Τῶν δὲ ἐπ' Εὐθείας ἐκτάσεων αὐτῆς ἡ μεγίστη, ἡ ἀπὸ Ἀνατολῆς πρὸς Δύσιν ἴση μιλίοις 135· ἡ δὲ ἀπὸ Μεσημβρίας πρὸς Βορρᾶν 143.

§. 276. Τὸ μὲν Μῆκος τῆς Γερμανίας ἀπὸ τῆς 23 μοίρας ἀρχόμενον εἰς τὴν 37. λήγει· τὸ δὲ πλάτος ἀπὸ τῆς 44½ εἰς τὴν 55.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

### Σημείωσις

## ΝΕΩΤΕΡΙΚΗ ΔΙΑΙΡΕΣΙΣ ΤΗΣ ΓΕΡΜΑΝΙΑΣ.

### ΚΥΚΛΟΙ.

| Πρὸς τὸ Ἀρκτῷον. | Τὸ μέσον. | Πρὸς τὸ Νότειον. |
|---|---|---|
| Βεσφαλία. | Κάτω τοῦ Ῥήνου. | Σουαβία. |
| Κάτω Σαξωνία. | Ἄνω τοῦ Ῥήνου. | Βαυιέρα. |
| Ἄνω Σαξωνία. | Φρανκονία. | Αὐστρία. |

### ΚΥΚΛΟΣ ΤΗΣ ΒΕΣΤΦΑΛΙΑΣ.

**Διαίρεσις.**

- Ἐκκλησιαστικοί.
  - Ἐπισκοπαί.
    - Μούνστερ.
    - Λιέγε.
    - Ὄσναβρουκ.
    - Πάδερβορν.
  - Ἡγουμενεῖαι.
    - Ἴνδεν.
    - Βέρδεν.
- Λαϊκοί.
  - Δουκᾶτα.
    - Κλέυες κ̀ Βέσελ.
    - Ἰουλιέρ.
    - Βέργ, ἔνθα Δουσελδόρφ.
  - Ἡγεμονίαι.
    - Ὄς-Φρισ, ἔνθα Ἔμβδεν.
    - Μένδεν.
    - Βέρδεν.
    - Ὄλδενβουργ.
  - Κομητᾶτα.
    - Οἴα.
    - Μάρκ.
    - Ῥάουσενςβεργ καὶ Μαίουρς.
    - Λίππε.
    - Σαΐν.
    - Βενθάϊμ.
    - Τέκλενβουργ καὶ Λίγγεν.
    - Σχιάενβουργ.
    - Βέσερβουργ.
- Ἐλεύθεραι Πόλεις.
  - Αὐτοκρατορικαί.
    - Κολονία.
    - Ἄϊξ.
    - Δόρτμουνθ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΦΙΛΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΥΚΛΟΣ τῆς Κατωτέρας ΣΑΞΩΝΙΑΣ.

Διαίρεσις

- Ἐκκλησ. Ἐπισκ.
  - Λουβέκ.
  - Χίλδεσχέϊμ.
- Λαϊκοί
  - Δουκάτ.
    - Μάγδεβουργ.
    - Βρέμεν.
    - Μέκκλενβουργ.
      - Σοχβέριν.
      - Γουςρόβ.
    - Χολςέϊν.
      - Γλέκκςαδτ.
      - Γόττορπ.
    - Λάυενβουργ.
  - Ἐπαρχία τοῦ Βρούνσβικ.
    - Λούνεβουργ.
      - Ζέλ.
      - Γρούβενχάγεν.
      - Κάλενβουργ.
    - Βόλφενβούτελ.
  - Ἡγεμονίαι.
    - Ἀλβερςάδτ.
    - Στέλιτς.
    - Ῥάτζεβουργ.
    - Βλάνκενβουργ.
  - Κομητάτον
    - Ῥαιτζάου.
  - Αὐτοκρατορικαὶ Πόλεις.
    - Λουβέκκ.
    - Γόσλαρ.
    - Βρέμεν.
    - Ἄμβουργ.
    - Μούλχαυσεν.
    - Νόρτχαυσεν.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΥΚΛΟΣ τῆς Ἀνωτέρας ΣΑΞΩΝΙΑΣ.

Διαίρεσις.

- Ἐλεκτοράτον τῆς Σαξωνίας.
  - Κύκλ. τοῦ Ἐλεκτοράτου τοῦ . . . Βίττενβεργ.
  - Μαρκιωνάτον τῆς Μισνίας . . . Μέϊσσεν. Δρέσδα. Τόργαυ.
  - Κύκλοι
    - τῆς Λείψιας . . . Λείψια.
    - τοῦ Ἔρτζενβεργ . . . Φρέϋβεργ. Ζβίκαυ.
    - τοῦ Βοϊτγλάνδ . . . Πλάυεν.
    - τοῦ Νέϋςαδτ . . . Νέϋςαδτ.
  - Ἐπισκοπαὶ τοῦ . . . . Μέρσβυργ. Νάυμβυργ.
- Ἐπαρχίαι τοῦ Βράνδεβυργ.
  - Μαρκίας Ἐλεκτορ.
    - Ἄλτε Μάρκ . Πολαιὰ Μαρκία . . . Στένδαλ. Ἄρνεβεργ.
    - Μ. τοῦ Πρίγνιτζ . . . Πέρλεβεργ.
    - Μίττελ Μάρκ. Μέση Μαρκία . . . Βερλίν.
    - Μ. τοῦ Οὔκερ . . . Ἄβελβεργ.
  - Νέα Μαρκία . . . . . Κέςριν.
  - Δυκάτον τοῦ Γρόσσεν . . . Γρόσσεν.
- Κλόνοι τῆς Σαξωνίας
  - Βάγμαρ . . . . . . . Βάγμαρ. Ἀΐσσεναχ.
  - Κοβέργ . . . . . . . Κοβέργ.
  - Γόθα . . . . . . . Γόθα.
  - Ἄλτενβυργ . . . . . Ἄλτενβυργ.
  - Κέρφυρτ . . . . . . Κυέρφυρτ.
- Πομερανία
  - Σβεκικὴ . . . . . . Στράλσουνδ. Βολγάς. Βέργχεν. ἡ Νῆσος Ῥούγεν.
  - Πρυσιακὴ . . . . . Στέττιν. Ἄνκλαμ.
- ἡ Ἡγεμονία τοῦ Ἄνχαλτ . . . . Δεσλάβ. Βέρνβυργ.
- Κομητάτα τοῦ . . . . . . . . Σχάρτζβυργ. Μάνσφελδ. Στολβεργ. Βερνιγερόδ.
- Δεσποτεῖαι . . . . . . . . . Γέρα. Ζβίκεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ι.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΚΥΚΛΟΣ τῦ Κατωτέρυ ῾ΡΗΝΟΥ.

Διαίρεσις εἰς

- Ἐκκλησ. Ἐπισκοπ.
  - Μάϋντζ, ἔνθα εἰσὶ
    - ἐν τῷ Ἐλεκτ. — Μάϋντζ.
    - ἐν τῇ Θυριγγία — Ἔρφυρτ.
    - ἐν τῷ Εἴσφελδ — Χεϊλιγευςαδτ.
  - Τρεύες
    - ἄνω . . . . — Τρεύες. Χίλδεσχεϊμ.
    - κάτω . . . . — Κόβλευτζ.
  - Κολονία
    - Ἐλεκτ.
      - ἄνω . — Βόνν.
      - κάτω. — Νεύς.
    - Κομητάτου τῦ . — Ῥέκλιγχάυσεν.
    - τῆς Βεςφελίας . — Ἄρεμβεργ.
- Λαϊκοὶ Παλατινάτου τῦ Ῥήνυ .
  - ἀνατολικ. . . — Μάνχαϊμ. Χάϊδελβεργ.
  - δυτικὸν . . — Φράνκενταλ.

## ΚΥΚΛΟΣ τῦ Ἀνωτέρυ ῾ΡΗΝΟΥ.

Διαίρεσις εἰς

- Λαϊκοὶ
  - Ἔσσε .
    - ἄνω . . . . — Μάρβυργ.
    - κάτω . . . — Κάσσελ.
  - Ἐπαρχ. τῦ Νασσάυ
    - Νασσάυ-Βεϊλβύργ — Βεϊλβύργ.
    - Νασσὰυ - Σάρβρυκ
    - — Οὔσιγγε. — Βισβάδεν.
  - Κομιτάτου τῦ Ἀνάυ ϗ τλ. — Ἀνάυ.
  - Δυκάτου τῶν δύο Γεφύρων. — Τζβάϋβρύκκεν.
  - Ἐπαρχίαι τῦ Σάλμ.
    - Σάλμ . . . — Σάλμ.
    - Κιρβὺργ . . — Κιρβύργ.
- Ἐκκλησίας. Ἐπισκοπ.
  - Βόρμς . . . . . . . . . — Νέϋ - Λεϊνέγγς.
  - Σπίρε . . . . . . . . . — Βρυσχάλ.
  - Φύλδε . . . . . . . . . — Φύλδα.
- Πόλεις καὶ Αὐτοκρατορι
  - Βόρμς.
  - Σπίρε.
  - Φράνκφορτ. — ἐπὶ τῦ Μέϊν ποτ.
  - Φρίδελβεργ.
  - Βέτζλαρ.
  - Γέλνχάυσε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## ΚΥΚΛΟΣ τῆς ΦΡΑΝΚΟΝ.

Διαίρεσις εἰς

- Ἐκκλησιας.
  - Ἐπισκοπ.
    - Βάμβεργ.
    - Βέρτζβεργ.
    - Ἄϊςαιδτ.
- Λαϊκοὶ
  - ἡγεμονίαι
    - Κύλμβαχ.
      - Βαιρέτ.
      - Κύλμβαχ.
    - Ἄνσβαχ, ἢ Ὀνολτζβαχ.
    - Ἔνεβεργ . . .
      - Σχλεϋσιγγεν.
      - Σχαμάλκενδεν.
      - Καίμχιλδ.
    - Σχβάρτζενβεργ.
    - Λάϋενςεϊν - Βερτχέϊμ.
    - Χόχενλοχεν.
  - Κόμητάτα . . . . πολλὰ
- Αὐτοκρατ. Πόλεις
  - Νύρεμβεργ.
  - Ῥόττεμβεργ.
  - Βίνδσχεϊμ.
  - Σχβέϊνφερτ.
  - Βάϊσσενβεργ.

## ΚΥΚΛΟΣ τῆς ΣΟΥΑΥΙΑΣ ἢ ΣΒΑΥΙΑΣ.

Διαίρεσις εἰς

- Ἐκκλησιαςικοὶ
  - Ἐπίσκοπαὶ
    - Κωνςαντίας.
    - Ἄυσβεργ.
  - Προςάται
    - Ἐλβάγγεν.
  - Ἡγεμονεία
    - Κέμπτεν.
- Λαϊκοὶ
  - Δουκάτου τοῦ Βίττεμβεργ . . .
    - Στούτγαρδ.
    - Τύβιγγεν.
  - Μαρκιωνάτου τοῦ Βάδε
    - Βάδε . . .
      - Βάδε.
      - Ῥάςαδτ.
    - Δούρλαχ . . Δούρλαχ.
  - Ἡγεμονεῖαι
    - Φύρςενβεργ.
    - Λίχτενςεϊν.
- Πόλεις Ἐλεύθεροι
  - Ἄυσβεργ.
  - Οὔλμ.
  - Ἄλλ.
  - Ἄϊλβρον.
  - Νόρδλιγγεν.
  - Δόναυβερτ.
  - Μέμμιγγεν.
  - Κέμπτεν.
  - Λίνδαυ.
  - Ῥότβειλ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΥΚΛΟΣ τῆς ΒΑΥΙΕΡΑΣ ἢ ΒΑΥΑΡΙΑΣ.

Διαίρεσις αὐτῆς

- Ἐκκλησιαστικοὶ
  - Ἐπισκοπ.
    - Σάλτζβουργ.
    - Φρεΰσιγγεν.
    - Ῥατισβῶνα.
    - Πασσάου.
  - Ἡγουμενίαι — Βέρχτενσγάδεν.
- Λαϊκοὶ
  - τὸ Δουκάτον τῆς Βαυιέρας διαιρεῖται.
    - εἰς ἀνωτέρ. βαυιέραν.
      - Μύνιχ ἢ Μύνχεν.
      - Δόναουβερτ.
      - Ἰνγολςαδτ.
      - Ἄβενσβεργ.
      - Βάσσερβουργ.
      - Ἔρνχιεμσέε.
      - Βέργχαουσεν.
    - Κατωτέρ. Βαυιέρ.
      - Λάνδςχότ.
      - Στράουβιγγ.
      - Χάμ.
  - Ἀνώτερον Παλατινάτον . Ἄμβεργ.
  - Ἡγεμονίαι . . . . . .
    - Νέϋβουργ.
    - Σούλτζβαχ.
  - Πόλεις Αὐτοκρατορικαὶ . Ῥεγενσβὲγ ἢ Ῥατισβῶνα.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΥΚΛΟΣ τῆς ἈΟΥΣΤΡΙΑΣ.

Διαιρεῖται αὐτὰ

- Ἀρχιδουκάτου τῆς Αὐστρίας
  - Κατωτέρα Αὐστρία . . . Βιέννα. Νάϋσταδτ.
  - Ἀνωτέρα . . . Λίντζ.
- Δουκάτου
  - Στυρίας . . . Γράτζ. Ἰούδενβουργ. Σεκκάου. Κιλλέϋ.
  - Καρινθίας . . . Κλάγενφουρτ. Γέρκκ. Βίλλαχ.
  - Καρνιόλας . . . Λάυβαχ. Μέτλιγγ.
- Φριοὺλ Αὐστριακοῦ Ἰστρία . . . Γορίτζ. Ὑδρία. Ἀκιλέα. Τριέστι. Φιούμι.
- Πρὸς τὸ Δυτικὸν . . .
  - Τυρὸλ ἔνθα εἰσὶ: Ἴνσπρουκ. Ἄλλ. Κούφτεϊν. Στερτζίνγεν. Βόλτζανο.
  - Ἐπισκοπαὶ . . . Βρίξεν. Τρέντ.

Ὑπόκεινται τῇ Αὐστρίᾳ πρὸς τούτοις 1. Ἡ Μοραυΐα, ἔχει Ἐγκατοίκους 1,260,000· ἧς πρωτεύουσα τὸ Οὔλμιτζ. 2. Ἡ Γαλλιτζία, μέρος τῆς Πολονίας· ἧς πρωτεύουσα τὸ Λέμβεργ. 3. Μέρος τῆς Σιλεζίας μὲ 270,000 Ἐγκατοίκους, καὶ τὸ Κομητάτον Τέσχεν. 4. Ἡ Ἐπαρχία τῆς Βενετίας. 5. Ἡ Λουσάνσα, καὶ 6. ἡ Βουκοβίνα. Ὅρα περὶ τῆς Λουσάνσας, καὶ Βουκοβίνας ἐν τῷ περὶ Οὐγκαρίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ.Ε.Τ.Κ.Π ΙΩΑΝΝΙΝΑ 2006